Hæc enim loco duorum, vno vtetur, & bis vnum sumet: exempli gratia, quæ proportio est primæ lineæ ad secundam, eadem secundæ ad tertiam. Bis igitur secunda sumta est. Quare si linea secunda bis posita fuerit, quatuor erunt proportione inter se comparata. Est autem & ius minimum in quatuor, eadémque eius ratio est. Disiuncti sunt enim similiter & ij quibus ius tribuitur, & eæ res, quæ distribuūtur. Itaq. quæ erit extremi A ad extremum B proportio, eadē extremi C ad extremū D. Alterna igitur ratione, vt extremū A ad extremū C, sic B ad D. Ergo & totum cumtoto cōparabitur: ídq. distributio copulat: & verò si ita iter se cōponātur, iustè copulat. Extremi igitur A cū extremo C. & extremi B cū extremo D coniugatio, ius illud est, quod in distributione consistit: & ius est iniuriæ medium, id est eius rei, quę à proportione remota atque auersa est. Nam quod proportione constat, medium est. ius autem proportione constat. Appellāt porrò mathematici talem proportionem, geometricam. In geometrica enim proportione euenit, vt quomodo vtrunque cum vtroque sic totum cum toto comparetur. Non est autem continens hæc proportio. Non enim fit extremum vnum numero is, cui tribuitur, & res, quę tribuitur. Ex his igitur satis intelligitur, hoc ius proportione constare: iniuriam autem, à proportione alienam atque auersam esse. Quo fit, vt alterum sit plus, alterū minus. Quod quidem etiam in factis reperitur. Nam is, qui iniuriam facit, plus boni sibi sumpsit ac vendicauit, quàm oportet: ei, qui afficitur iniuria, minus boni obtigit. Contrà fit in malo: boni enim rationem obtinet leuius malum, si cum grauiore malo comparetur. Nam leuius malum, optabilius grauiore est. At quod optabile & expetendum est, id bonum est: & quo quidque optabilius est, eo maius bonum est. Atque hoc sanè iuris vnum genus est. Reliquū autem alterum est id, quod ad corrigendum & emendandum valet: versatúrque in rebus & spōte & inuitè contractis. Huius autem iuris forma alia est à priore. Ius enim, quod in distribuēdis rebus communibus vertitur, semper ea, quam dixi, proportione constat. Nā si pecunię communis distributio fiat, eadē ratione vtendum erit, quam habent inter se res eæ, quæ ab vnoquoque in medium allatæ sunt: eáque iniuria, quæ huic iuri opponitur, à proportione remota atq. auersa est. Ius autem, quod in contractibus versatur, est illud quidem æquale quiddam: & iniuria inæquale: verùm non illa proportione, sed arithmetica. Nihil enim refert, vtrùm vir bonus malum hominem fraudarit, an malus homo virum bonum: neque

A τῷ γὰρ ἑνὶ, δυσὶ χρῆται, καὶ δὶς λέγει οἷον, ὡς ἡ τοῦ
α πρὸς τὴν τοῦ β, οὕτως ἡ τοῦ β πρὸς τὴν τοῦ γ.
δὶς οὖν ἡ τοῦ β εἴρηται· ὥστε ἐὰν τὸ β δὶς τεθῇ,
τέσσαρα ἔσται τὰ ἀνάλογα. ἔστι δὲ καὶ τὸ δί-
καιον, ἐν τέτταρσιν ἐλαχίστοις, καὶ ὁ λόγος ὁ αὐ-
τός. διῄρηται γὰρ ὁμοίως, οἷς τε καὶ ἅ. ἔσται ἄρα
ὡς ὁ α ὅρος πρὸς τὸν β, οὕτως ὁ γ πρὸς τὸν δ. ἐν-
αλλὰξ ἄρα ὡς ὁ α πρὸς τὸν γ, ὁ β πρὸς τὸν δ, καὶ
B τὸ ὅλον, πρὸς τὸ ὅλον, ὅπερ ἡ νομὴ συνδυάζει
κἂν οὕτω συντεθῇ, δικαίως συνδυάζει. ἡ ἄ-
ρα τοῦ α ὅρου τῷ γ, καὶ ἡ τοῦ β τῷ δ σύζευξις, τὸ
ἐν διανομῇ δίκαιόν ἐστι, καὶ μέσον τὸ δίκαιον,
τουτέστι τὸ παρὰ τὸ ἀνάλογον. τὸ γὰρ ἀνάλο-
γον, μέσον· τὸ δὲ δίκαιον, ἀνάλογον. καλοῦσι
δὲ τὴν τοιαύτην ἀναλογίαν γεωμετρικὴν οἱ
μαθηματικοί. ἐν γὰρ τῇ γεωμετρικῇ συμβαί-
νει καὶ τὸ ὅλον πρὸς τὸ ὅλον, ὅπερ ἑκάτερον
C πρὸς ἑκάτερον. ἔστι δ᾿ οὐ συνεχὴς αὕτη ἡ ἀ-
ναλογία, οὐ γὰρ γίνεται εἷς ἀριθμὸς ᾧ καὶ ὅ. τὸ
μὲν οὖν δίκαιον τοῦτο, τὸ ἀνάλογον· τὸ δὲ ἄδι-
κον τοῦτο, τὸ παρὰ τὸ ἀνάλογον. τὸ ἀνάλογον
γίνεται ἄρα τὸ μὲν πλέον, τὸ δὲ ἔλαττον. ὅ-
περ καὶ ἐπὶ τῶν ἔργων συμβαίνει. ὁ μὲν γὰρ ἀ-
δικῶν, πλέον ἔχει· ὁ δ᾿ ἀδικούμενος, ἔλαττον,
ἐπὶ τοῦ ἀγαθοῦ· ἐπὶ δὲ τοῦ κακοῦ, ἀνάπαλιν. ἐν
D ἀγαθοῦ γὰρ λόγῳ γίνεται τὸ ἔλαττον κα-
κὸν πρὸς τὸ μεῖζον κακόν. ἔστι γὰρ τὸ ἔλαττον
κακὸν μᾶλλον αἱρετὸν τοῦ μείζονος. τὸ δὲ αἱ-
ρετὸν, ἀγαθόν· τὸ δὲ μᾶλλον, μεῖζον. τὸ μὲν οὖν
ἓν εἶδος τοῦ δικαίου, τοῦτό ἐστι. τὸ δὲ λοιπὸν ἕν,
τὸ διορθωτικὸν, ὃ γίνεται ἐν τοῖς συναλλάγμα-
σι καὶ τοῖς ἑκουσίοις καὶ τοῖς ἀκουσίοις. τοῦτο δὲ τὸ
δίκαιον ἄλλο εἶδος τοῦ προτέρου. τὸ μὲν γὰρ
E διανεμητικὸν τῶν κοινῶν, ἀεὶ κατὰ τὴν ἀναλο-
γίαν ἐστὶ τὴν εἰρημένην. καὶ γὰρ ἀπὸ χρημάτων
κοινῶν ἐὰν γίνηται διανομὴ, ἔσται κατὰ τὸν λόγον τὸν
αὐτὸν ὅνπερ ἔχουσι πρὸς ἄλληλα τὰ εἰσενε-
χθέντα· καὶ τὸ ἄδικον τὸ ἀντικείμενον τῷ
δικαίῳ τούτῳ, τὸ παρὰ τὸ ἀνάλογόν ἐστι. τὸ
δ᾿ ἐν τοῖς συναλλάγμασι δίκαιον. ἔστι μὲν
ἴσον τι, καὶ τὸ ἄδικον ἄνισον, ἀλλ᾿ οὐ κατὰ
F τὴν ἀναλογίαν ἐκείνην, ἀλλὰ κατὰ τὴν ἀρι-
θμητικήν· οὐθὲν γὰρ διαφέρει, εἰ ἐπιεικὴς
φαῦλον ἀπεστέρησεν, ἢ φαῦλος ἐπιεικῆ·